Κατὰ Καντακουζηνόν,[1] ὁ ποταμὸς οὗτος, «ἀέναός τε καὶ οὐ πάνυ πόρρω Βεῤῥοίας ῥέων,» ἦν πλωτός· τὴν δὲ μαρτυρίαν ταύτην ἐπικαλεῖται καὶ Tafel.[2] Ὅτι δὲ παρὰ Καίσαρι[3] ἀναφαίρεται ὁ ποταμὸς Ἁλιάκμων ὡς ἀποτελῶν τὸ ὅριον Μακεδονίας καὶ Θεσσαλίας, τοῦτο Mannert[4] μὲν φαίνεται ὡς ὀρθῶς ἔχον ἀποδεχόμενος, τῷ Preller[5] δὲ δικαίως ὡς ἀνακριβῶς ἔχειν δοκεῖ.

Τὸν ποταμὸν τοῦτον λέγει ὁ M. Cousinéry[6] πρόξενον εἶναι μεγάλης τῇ χώρᾳ ζημίας, ἕνεκα τῶν

κριβές, ἅτε τοῦ Πίνδου ὄρους μεσημβρινώτερον κειμένου. Ἰδ. ἀνωτέρω σ. 7 σημ. 4.

1. Johan. Cantacuz. eximperat. Hist. lib. IV, ed. Bonn. 1828 – 32. IV, 18. σ. 771. «Καὶ βασιλέα δὲ παρεσκευάζετο, ὡς εἰς Βέρ[ρ]οιαν ἀφιξόμενος νυκτός, καὶ τὰς μὲν τριήρεις ἐκέλευε τοὺς ναυάρχους ἐφοπλίσαντας, ἄγοντας καὶ τοὺς βαρβάρους ἐπί τινα ποταμὸν τῶν ἀεννάων, οὐ πάνυ πόρρω ῥέοντα Βεῤῥοίας...»

2. De Thessalonica ejusque agro σ. 312. «De eo (Haliacmonem) videatur Cantacuz. IV, 18. quo teste hic fluvius triremibus navigabatur anno 1350 fere usque ad urbem Berroeam, a qua descendit rivus, Haliacmoni illabens» Πρβλ. καὶ ἐν Pauly's Real—Encycl. I, Stuttgart 1839. σ. 1100. «Bei starkem Wasserstande Konnte man auf dem Haliacmon in einer Entfernung von etwa zwei Stunden mit Kriegsschiffen gegen die Stadt (Berroea) heraufschiffen (Cantacuz. IV, 18).»

3. Jul. Caes. Camment. de bello civili, III, 36. «et qvo iter expeditius faceret, M. Favonium ad flumen Haliacmonem, quod Macedoniam a Thessalia dividit.»

4. Geogr. VII, σ. 509 — 10 «Er fliesst (der Haliakmon) an der Nordseite der Gebirgsreihen fort, welche Macedonien von Thessalien trennen, wird daher von Caesar als Gränzfluss zwischen beiden Ländern angegeben.»

6 Ἐν Pauly's Real - Encych. III, ἐν λέξει Ἁλιάκμονι. «Sehr ungenau heisst er bei Caerar der Gränzfluss zwischen Macedonien und Thessalien.»

7. Voyage dans la Macédoine I. σ. 63.

πλημμυρῶν αὐτοῦ· ἐπὶ ταύτην δὲ τὴν αἰτίαν ἀνάγει οὗτος τὴν ἐν τοῖς ἀρχαιοτάτοις χρόνοις γενομένην μετανάστασιν Βοττιαίων, Ἐορδαίων, Ἀλμώπων καὶ Ἠδωνῶν εἰς ἄλλας χώρας, ἀποκρούων οὕτω τὴν ὑπὸ Θουκυδίδου[1] ἐξενηνεγμένην γνώμην, ὅτι οἱ Τημενίδαι ἐξανέστησαν βίᾳ τοὺς λαοὺς τούτους. Ἡ ἀπόφανσις αὕτη τοῦ γαλάτου συγγραφέως ἀβάσιμος εἶναι δοκεῖ, τὸ δὲ κῦρος τῆς Θουκυδίδου γνώμης ἀκλόνητον.

Ἐπὶ τέλει δὲ σημειωτέον ἐνταῦθα, ὅτι ὁ ποταμὸς οὗτος νῦν κυλινδεῖ ψήγματα χρυσοῦ τῇ ἄμμῳ ἀνάμικτα, ὡς ἀναγράφει ὁ Pouqueville.[2]

γ') ΠΕΡΙ ΤΗΣ ΦΥΣΙΚΗΣ ΚΑΤΑΣΤΑΣΕΩΣ ΤΗΣ ΜΕΤΑΞΥ ΛΥΔΙΟΥ ΚΑΙ ΑΛΙΑΚΜΟΝΟΣ ΠΕΔΙΑΔΟΣ

1. *Ὅρια τῆς πεδιάδος.*

Ἡ πεδιὰς αὕτη ἀρχομένη βορειόθεν ἀπὸ τῆς πόλεως Ἐδέσσης, καθήκει πρὸς μεσημβρίαν μέχρι τῶν ὀρέων Πιερίας καὶ τοῦ Θερμαίου κόλπου, ἔνθ' ἀπολήγει ἐν στενῇ τινι ταινίᾳ εἰς τὴν θάλασσαν.[3] Κεῖται δ' ἐν μέσῳ τῶν ποταμῶν Ἁλιάκμονος μὲν περιορίζοντος αὐτὴν πρὸς νότον τε καὶ ἀνατολάς, Λυδίου

---

1. II, 99.

2. Voyage dans la Grèce II, σ. 375. « Nous y trouvâmes des Bohemiens occupés à rechercher les parcelles d'or que le fleuve (Haliacmon) roule avec son sable.»

3. Flathe : Geschichte Macedoniens I, σ. 14. «Sie erreichte (die Landschaft Emathia) das Meer nur in einem schmalen Streifen an den Mündungen der Ströme Haliacmon und Ludias.»

δὲ πρὸς βορρᾶν· ἔτι δὲ πρὸς βορρᾶν ἀφορίζεται ἡ πεδιὰς αὕτη ὑπὸ τῆς σειρᾶς ἐκείνης τοῦ Βερμίου ὄρους τῆς καλουμένης Παίκου· πρὸς δύσιν δ' ὁρίζεται ἡ πεδιὰς ὑπὸ τοῦ Βερμίου ὄρους ἀπὸ βορρᾶ πρὸς νότον ἐκτεινομένου, ἐξ οὗ ἀποσπᾶται ὁ πρὸς μεσημβρίαν τε καὶ ἀνατολὰς τείνων κλάδος, ὁ ὑπὲρ τὴν πόλιν Βέροιαν ἀποτερματιζόμενος· ἐπὶ τέλει δ' ἀνατολικὸν τῆς πεδιαδος ταύτης ὅριον ἦν ἡ ἀρχαία χώρα Πιερία ἐν μέρει καὶ ἔτι περαιτέρω ἡ παραλία τοῦ Θερμαίου κόλπου.[1]

2. *Φυσικὴ κατάστασις τῆς πεδιάδος.*

Περὶ τῆς φυσικῆς καταστάσεως τῆς πεδιάδος ταύτης ἐλλείπουσιν ἀρχαῖαι πηγαί. Ὁ ὑφ' Ὁμήρου[2] γενόμενος χαρακτηρισμὸς τῆς χώρας Ἠμαθίας ὡς «ἐρατεινῆς» οὐδὲν ὡρισμένως περὶ τῆς καταστάσεως αὐτῆς σημαίνει. Ὁμοίως καὶ τὸ παρ' Εὐριπίδῃ[3] ἐγκώμιον τοῦ ποταμοῦ Λυδίου, ὡς λιπαίνοντος τὴν διαρρεομένην εὔιππον χώραν, ὑπεμφαίνει μὲν τὸ εὔφορον αὐτῆς, οὐ παρέχει δ' ὅμως οὐδεμίαν ἑτέραν περὶ τῆς φυσικῆς συστάσεως αὐτῆς εἴδησιν.

Παρὰ Καμενιάτῃ[4] σώζεται περιγραφὴ τῆς πρὸς δυσμὰς τῆς πόλεως Θεσσαλονίκης χώρας μέχρι Βεροίας ὡς ἀξύλου μέν, ὡς τὰ πολλά, χαρακτηριζομένης, πάσης δ' ὅμως γεωργικῆς ἐπιμελείας ἐπιτήδευ-

---

1. Ἰδ. χάρτας Müller καὶ Kiepert : Neuer Atlas von Hellas κτλ. πίν. VII καὶ XV.

2. Ἰλ. XIV, στιχ. 226. « Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινήν.»

3. Ἰδ. ἀνωτέρω σ. 16 σημ. 2.

4. Κεφ. 6. ἐκδ. Βενετ.

δων παρεχομένης· καὶ αὐτὴ δ' ἡ πόλις Βέροια ἀναγράφεται περιφανεστάτη οὖσα «τοῖς τε οἰκήτορσι καὶ πᾶσι τοῖς ἄλλοις, οἷς εὐτυχεῖ πόλις τὴν σύστασιν.»

Ἐκ τῶν μεταγενεστέρων Mannert [1] μὲν ὅλην τὴν πεδιάδα, ἔνθα ἡ χώρα Ἠμαθία ἔκειτο, χαρακτηρίζει ὡς εὔφορον καὶ ὡραίαν· ὁ δ' Ami Boué [2] περὶ μέρους τινὸς αὐτῆς μόνον, ἤτοι περὶ τῶν περὶ τὴν ἀρχαίαν πόλιν Ἔδεσσαν τόπων καὶ ὀρέων ἐκφράζεται μετ' ἐνθουσιασμοῦ. Καὶ Abel [3] δὲ τοὺς παρ' Ἡροδότῳ [4] ἀναφερομένους κήπους Μίδου τοῦ Γορδίου ἐν Ἐδέσσῃ τάττων, ἐξαίρει ὁμοίως τὴν ἁβρότητα καὶ πλησμονὴν τῆς φυσικῆς βλαστήσεως τῶν πέριξ τόπων. Ὁ αὐτὸς Abel [5] παρατηρεῖ τὴν γονιμότητα τοῦ περαιτέρω πεδίου σκεπομένου κατὰ τοῦ βορειόθεν ἐπιπνέοντος θερμοῦ ἀνέμου ὑπὸ τῆς σειρᾶς τοῦ ὄρους Βερμίου ἐκ τριῶν περιειργούσης μερῶν τὴν περὶ ἧς πρόκειται πεδιάδα, ἀποτελοῦσαν εὐάρεστον ἀντίθεσιν πρὸς τὴν ἐπίλοιπον τελματώδη καὶ ἔρημον χώραν.

Ὁμοίως δ' ὁ Cousinéry [6] καὶ ἰδίᾳ διὰ μακρῶν ὁ

---

1. Geogr. VII, σ. 424. « Das kleine Reich war in der fruchtbaren und schönen Landschaft Emathia.»

2. Recueil d' Itinéraires κτλ I. σ. 282–283. « On voit ce bijou de la nature encadré entre le demicercle de collines bordant la plaine et un autre le plus grand cercle de montagnes boisées...»

3. Maked. σ. 112. « Wahrlich nirgends anders als hier (in Edessa) dürfen wir die Gärten des Midas suchen... »


4. VIII, 138.

5. Meked. σ. 12.

6. Voyage dans la Macédoine I, σ. 78. « Qu' on se figure une plaine de quinze lieues de profondeur et d' autant de largeur, qui a son horison sur la mer, couvetre de bois, des métairies, de villages, des ruisseaux signalés par de grands arbres et le

Heuzey[1] ἐξαίρουσι τὴν εὐφορίαν τοῦ πεδίου τούτου, οὗ τὸ ἔδαφος ἐπιτήδειον εἰς καλλιέργειαν ἅμα δὲ καὶ ἀναδοτικὸν παντοίων σπερμάτων.

Συνελόντι δ' εἰπεῖν, ἅπασα ἡ μεταξὺ τῶν ποταμῶν Ἁλιάκμονος καὶ Λυδίου πεδιὰς εὔφορος οὖσα, μόνον περὶ τὴν λίμνην Πέλλης μεταβάλλει ὄψιν ἐν χειμῶνος ὥρᾳ, ἅτε δὴ ὑπὸ τῶν εἰς τὴν λίμνην ταύτην ἐνδιδόντων ποταμῶν κατακλυζομένη· πλὴν δ' ἀλλ' ὅμως καὶ ἡ κατάστασις αὕτη μεταβάλλεται ἐν θέρους, τῶν ὑδάτων ἀποσυρομένων καὶ τοῖς πέριξ φύσεως χλοερὰν ἀναλαμβανούσης ὄψιν.[2]



lac de Yenidjé qui en forme le centre et on aura une idée de ce magnifique tableau.»

1. Heuzey et Daumet : Mission arhéologique de Macédoine σελ. 179.

2. Felix de Beaujour : Voiyage militaire κτλ. I. 198. «Cette plaine (de Yenidjé) toujours inondée pendant l'hiver, offre en été les tableaux les plus riches et les plus variés.»

II. ΤΟΠΟΓΡΑΦΙΑ

α') ΠΕΡΙ ΗΜΑΘΙΑΣ ΓΕΝΙΚΩΣ

Τὸν πρῶτον καὶ ἀρχαιότατον πυρῆνα τοῦ εἰς τὸν μετέπειτα χρόνον αὐξηθέντος μακεδονικοῦ βασιλείου ἀπετέλει ἡ χώρα Ἠμαθία,[1] ἧς ἡ ἔκτασις διάφορος παρὰ τοῖς διαφόροις συγγραφεῦσιν.

Ἡ παραγωγὴ τοῦ ὀνόματος Ἠμαθίας[2] ἀπὸ βασιλέως τινος Ἠμαθίου, ἢ ἀπὸ τοῦ υἱοῦ Μακεδόνος Ἀμάθου, ἢ ἀπὸ Ἠμαθίωνός τινος ἥρωος δικαίως ἀπορρίπτεται ὑπ' Abel,[3] ὀρθῶς ἀποδεχομένου τὴν ὀνομασίαν παραχθεῖσαν ἐκ τοῦ ἄμαθος, δηλοῦντος ἀμμώδη παραλίαν, ὡς ὑφ' Ὁμήρου[4] ὁ ἐν Πελοπον-

1. Abel: Maked. σ. 25. « Der Kern des späteren makedonischen Reichs war die Landschaft Emathia.— Πρβλ. Born: Zur makedonischen Geschichte: σ. 3. « Den Kern Macedoniens bildete ursprünglich nur die Landschaft Emathia. »

2. Τὸ ὄνομα Ἠμαθία παράγεται ὑπὸ Sickler: Handbuch der alten Geogr. σ. 409 ἐκ τοῦ φοινικικοῦ *aemdah*, δηλοῦντος κατοικίαν· ἀλλ' ὑπὸ Kiepert: Lehrbuch der alten Geogr. σ. 310 γίνεται ἀποδεκτὴ ἡ ἐτυμολογία τοῦ ὀνόματος Ἠμαθίας ἐκ τοῦ ἑλληνικοῦ ἄμαθος. Πρβλ. Abel: Maked. σ. 25. «Es ist offenbar, dass die Benennung von ἄμαθος Küstenland abstammt. »

3. Maked. σ. 25. « Ueber die Abstammung dieses Namens von einem König Emathios, oder von Makedons Sohne Amathos, oder gar von Emathion braucht nichts weiter gesagt zu werden »

4. Ἰλ. ΙΙ, στιχ. 77. «Νέστωρ, ὅς ῥα Πύλοιον ἄαξ ἦν ἠμαθόεντος.» καὶ Ὀδυσ. ΙΙ, στιχ. 326. « ἤ τινας ἐκ Πύλου ἄξει ἀμύντορας ἠμαθόεντος. » Ἡ ἐτυμολογία τοῦ ἐπιθέτου τούτου ἀπό τινος ποταμοῦ Ἀμάθου ὑπὸ Στράβωνος (VIII, 3) ἀναφερομένη, φαίνεται πάμπαν ἀπίθανος οὖσα· διόπερ καὶ ὁ αὐτὸς γεωγράφος παρατίθεσιν ἐν τέλει

νήσῳ Πύλος ἠμαθόεις καλεῖται· οὐδεμίαν δὲ κατ' αὐτὸν[1] πολιτικὴν οὔτε φυλετικὴν ἐκέκτητο σημασίαν τὸ ὄνομα, ἅτε δηλοῦν, ὑπὸ καθαρῶς φυσικὴν ἔννοιαν, τὴν ὁμαλὴν παραθαλασσίαν χώραν πρὸς διαστολὴν ἀπὸ τῆς μεσογαίας, Ὀρεστίδος ἐπικληθείσης, ἧς οἱ κάτοικοι « Ὀρέσται Μακεδόνες, »[2] ἐκλήθησαν οὐκ ἀπὸ τοῦ υἱοῦ Ἀγαμέμνονος, ἀλλ' ἀπὸ τῶν ὀρέων.[3]

Ἡ χώρα Ἠμαθία μνημονεύεται, ὡς εἴρηται ἤδη, ὑφ' Ὁμήρου[4] ὑπὸ τὸ ἐπίθετον «ἐρατεινή·» ἐκ δὲ τῆς θέσεως, εἰς ἣν τάσσεται μετὰ τὴν χώραν Πιερίαν, ὑπεμφαίνεται, ὅτι αὕτη ἔκειτο, κατὰ τὸν ποιητήν, μᾶλλον ἐν τῇ μεσογαίᾳ, ἢ παρὰ τὴν παραλίαν· διότι ἡ θεὰ Ἥρα τὸν Ὄλυμπον καταλιποῦσα πρῶτον τὴν χώραν Πιερίαν[5] ἐπέβη, εἶτα τὴν χώραν Ἠμαθίαν καὶ κατόπιν ἀφίκετο ὑπὲρ τὰς ἀκροτάτας κορυφὰς τῶν νιφοέντων θρᾳκικῶν ὀρέων.

Καθ' Ἡρόδοτον[6] καλοῦντα αὐτὴν Μακεδονίδα,

τὴν ὀρθὴν παραγωγὴν τοῦ ἐπιθέτου, ἐπιλέγων τάδε «Θινώδης δὲ καὶ στενός ἐστιν ὁ τῆς θαλάσσης αἰγιαλός, ὥστ' οὐκ ἂν ἀπογνοίη τις ἐντεῦθεν ἠμαθόεντα ὠνομάσθαι τὸν Πύλον.»

1. Abel: Maked. σ. 26. «Die Benennung hatte ursprünglich weder eine politische noch eine Stammliche Bedentung, sondern eine rein physische.»

2. Πολύβ. XVIII, 30.—Livius XXXIII, 34.

3. Müller: Ueber die Wohnsitze κτλ. des maked Volks σ. 14—15. «Ein Nebenthal von Elimeia...... wurdo von den Makedones Orestä bewohnt, die ohne Zweifel von ihren Bergen den Namen haben; nicht von Agamemnons Sohne.»

4. Ἰδ. ἀνωτέρω σ. 30 σημ. 2.

5. Ἣν νοητέον πρὸς βορρᾶν Ὀλύμπου ὑπὸ τοῦ ποιητοῦ τιθεμένην. Πρβλ. Β. Γ. Σκορδέλους: Meditationes Thacicæ : Leipzig 1877 σ. 6.

6. VII. 127. «Λυδίεώ τε καὶ Ἀλιάκμονος, οἳ οὐρίζουσι γῆν τὴν Βοττιαιίδα τε καὶ Μακεδονίδα.»

ἐξετείνετο ἡ χώρα Ἠμαθία μεταξὺ τῶν ποταμῶν Λυδίου καὶ Ἁλιάκμονος.[1]

Τὸ δ' ὄνομα Ἠμαθία φαίνεται εἶτα ἐπεκταθὲν ἐν τοῖς ἀρχαίοις χρόνοις ἐπὶ πολλοῦ τινος μέρους, ἢ ἄμεινον εἰπεῖν, ἐφ' ἁπάσης τῆς μετὰ ταῦτα Μακεδονίας, ὡς τοῦτο ἐκ χωρίων ἀρχαίων συγγραφέων[2] μετὰ βεβαιότητος ἐξάγεται. Ἐξ οὗ δ' ἐν τῷ μετέπειτα χρόνῳ ἐπεκράτησεν ἡ ὀνομασία Μακεδονία, τὸ ὄνομα Ἠμαθία περιωρίσθη εἰς δήλωσιν τῆς ἀρχικῆς ἑστίας[3] τοῦ ἐκτεταμένου μακεδονικοῦ κράτους, κειμένης, ὡς ἀνωτέρω εἴρηται, μεταξὺ Λυδίου καὶ Ἁλιάκμονος.

---

1. Περιελάμβανεν ὅμως ἡ χώρα αὕτη καί τινα στενὴν ταινίαν γῆς καθήκουσαν μέχρι θαλάσσης. Πρβλ. Müller: Ueber die Wohnsitze κτλ. des maked. Volks σ. 29.—C. H. F. Brückner: König Philipp, Sohn des Amyntas von Macedonien und die hellenischen Staaten: Göttingen 1837. σ. 13 σημ. 2.—Καὶ Flathe: Gesch. Macedoniens I. σ. 14.—Τοὐναντίον ὁ Niebuhr: Vorträge über alte Länder κτλ. σ. 293 οὐκ ἐπεκτείνει τὴν χώραν Ἠμαθίαν μέχρι θαλάσσης, ἀλλ' ἀποχωρίζει αὐτὴν ἀπὸ τῆς παραλίας διὰ τῆς χώρας Πιερίας καὶ στενῆς τινος λωρίδος γῆς ἀνηκούσης τῇ ἀρχαίᾳ Βοττίᾳ, ὡς λέγει. « Dieses Niedermakedonien (die eigentliche Emathia) im eigentlichen Sinne . . . reicht micht bis an's Meer, es wird durch Pieria und einen schmalen Strich des alten Bottia abgesondert. » Πρβλ. καὶ σ. 279. « Das eigentliche Makedonien erreichte das Meer nicht. »—Ὁμοίως ἴδ. συμφωνοῦντα τῷ Niebuhr καὶ Delacoulonche: Mémoire... sur le berceau de la puis· macedonienne κτλ. σ. 6. « Malheureusement pour cette conjecture ne paraît pas s'être étandue (l'Emathie) jusqu'au golfe Thermaique.»

2. Στράβ. VII, ἀπ. 11. « Ὅτι Ἠμαθία ἐκαλεῖτο πρότερον ἡ νῦν Μακεδονία. »—Στέφ. Βυζάντ. ἐν λέξει. « Ἠμαθία, πόλις καὶ χωρίον, ἡ νῦν Μακεδονία. » —Plinius: Natur. Hist IV. 34. « Macedonia postea CL populorum... Emathia antea dicta. »—Justinus VII, 1. « Macedonia ante... Emathia cognominata est. »

3. Forbiger ἐν Pauly's Real-Encycl. κτλ. IV, σ. 1332. σ. 1. « Auch der später nur einer einzelnen Landschaft gebliebene Name Emathia, wurde früher von ganz Macedonien gebraucht.»

Τὸ δὲ παρὰ Πολυβίῳ[1] χωρίον, ἐξ οὗ φαίνεται, ὅτι ἡ ἐπὶ τῆς ἐποχῆς αὐτοῦ Ἠμαθία τὸ πάλαι Παιονία προσηγορεύετο, ἀνάγεται πάντως εἰς ἐκείνην τὴν σχέσιν τῆς ἀρχαιοτέρας ἱστορίας τῆς περὶ ἧς πρόκειται χώρας, καθ' ἣν, τῶν Παιόνων ἐπεκταθέντων ἀπ' Ἀξιοῦ μέχρι τῶν ὁρίων Ἰλλυρίδος[2] καὶ τῆς κλήσεως τῆς χώρας ἀπὸ τοῦ ὀνόματος αὐτῶν ἐπικρατησάσης, ἐγκατελείφθη τὸ ὄνομα Ἠμαθία, ὅπως ἀναφανῇ αὖθις ἐν τῷ ὑστέρῳ χρόνῳ.

Ὁ Flathe[3] στηριζόμενος ἐπὶ Αἰσχύλου[4] καὶ Ἰουστίνου,[5] ἀναγράφει, ὅτι ἡ χώρα Ἠμαθία κληθεῖσα μετὰ ταῦτα Μακεδονία, ὠνομάζετό ποτε Πελασγία, ὅπερ ἀποκρούεται ὑπὸ Forbiger.[6] Ὁ αὐτὸς Fathe[7] ἐσφαλμένως ἀναφέρει τὴν χώραν Ἠμαθίαν πάλαι Μακεδονίαν καλουμένην· ἃ δὲ χωρία[8] εἰς μαρτυρίαν ἐπικαλεῖται τἀντίθετα πάμπαν σημαίνει, ἤτοι ἡ μετὰ ταῦτα Μακεδονία Ἠμαθία πρὶν ἐκαλεῖτο.

Οἱ μεταγενέστεροι γεωγράφοι τε καὶ ἱστορικοὶ δια-

---

1. XXIV, 8, 4. «Τοὺς μὲν πολιτικοὺς ἄνδρας . . . . ἀναστάτους ποιήσαντα μεταγωγεῖν εἰς τὴν νῦν μὲν Ἠμαθίαν, τὸ δὲ παλαιὸν Παιονίαν προσαγορευομένην.» Πρβλ. Liv. XL, 3. «Emathia quæ nunc dicitur quondam Pæonia ǒppellata.» /a

2. B. Giseke: Thrakisch - Pelasgische Stämme : κτλ. σ. 6. «Es wohnen also Pæonen in der ganzen Breite des Landes von Axios bis an die Illyrischen Berge.»

3) Gesch. Maked. I, σ. 14.

4. Ἱκέτιδες, στιχ. 252—259.

5. VII, 1.

6. Ἐν Pauly's Real-Encycl. κτλ. IV, σ. 1335. σ. 1.

7. Gesch. Maked. I σ. 15.

8. Justinus VII, 1, καὶ Plinius : Nat Hist. IV, 34. - Βλ. ἀνωτέρω σ. 35 σημ. 2.

φέρουσιν ἀλλήλων ὡς πρὸς τὴν ἔκτασιν, ἣν ἀπονέμουσι τῇ ἀρχαίᾳ Ἠμαθίᾳ.

Καὶ ὑπὸ μὲν Müller[1] ἑπομένου τῷ Ἡροδότῳ[2] περιορίζεται ἡ χώρα Ἠμαθίᾳ ἐν μέσῳ τῶν ποταμῶν Λυδίου καὶ Ἁλιάκμονος καὶ περὶ τὴν Ἔδεσσαν κειμένη. Ὑπ' Abel[3] δ' ὡς ἀνεγχώρητος ἐκλαμβάνεται ὁ περιορισμὸς Ἠμαθίας μεταξὺ τῶν ποταμῶν τούτων· ἐκ δὲ τῶν ἐν τοῖς ἑξῆς ὑπ' αὐτοῦ ἐπιφερομένων ἐξάγεται, ὅτι οὗτος τείνει εἰς ἐπέκτασιν τῶν ὁρίων αὐτῆς μᾶλλον ἐπὶ τὴν παραλίαν.

Ἔτι δυσχερέστερός ἐστιν ὁ ὑπὸ Mannert[4] γινόμενος προσδιορισμὸς Ἠμαθίας, καθ' ὃν αὕτη τοσούτῳ δυσμικῶς τῶν ἐκβολῶν Ἀξιοῦ καὶ κατὰ μῆκος τῶν ποταμῶν Ἐριγῶνος καὶ Λυδίου ἐχώρει, ὅσῳ καὶ ἡ πεδιὰς αὐτὴ κατὰ τὴν αὐτὴν ἔγκλισιν ἐξετείνετο· πρόδηλον δ' οὕτως, ὅτι ὑπὸ Mannert δίδοται τῇ Ἠμαθίᾳ ἔκτασις, ἣν οὐδέποτε ἔσχεν ἡ χώρα αὕτη

---

1. Ueber die Wohnsitze κτλ. des mak. Volks σ. 40—41. «Mehrere Schriftsteller versichern im Allgemeinen Makedonien habe früher Emathien geheissen, wobei indessen... nicht an das Oberland, sondern vorzüglich an die Gegend der Flussmündungen und um Edessa zu denken ist.» ἰδ. ἀνωτέρω σ. 35, σημ. 1.

2 VII, 127.—Βλ. ἀνωτέρω σ. 31 σημ. 6.

3. Maked. σ. 26. «Emathia auf das eigentliche Makedonis zwischen Lydias und Haliakmon zu beschränken ist durchaus unstatthaft.» Τῷ Abel ἕπεται καὶ Born: Zur makedonischen Geschichte σ. 3. «... Emathia d h. nicht blos das zwischen den Flüssen Haliakmon und Lydias gelegene Gebiet, sondern die ganze Küstenebene östlich bis zum Meere.» Πρβλ. καὶ σ. 16.

4. Geogr. κτλ. VII, σ. 424. «Die Landschaft Emathia ..... welche sich westlich von der Mündung de Axius längst dem Flusse Erigon und Lydias so weit gegen Westen streckte als die Ebene reicht.»

κατὰ τὴν πρώτην καὶ ἀρχαίαν αὐτῆς σύστασιν.

Sickler δ' ὁ παραδόξως ἀποκαλῶν καὶ Μυγδονίαν[1] τὴν χώραν Ἠμαθίαν ἐκτείνει αὐτὴν πρὸς βορρᾶν Πιερίας ἀπ' Ἀξιοῦ μέχρι τῶν ὁρίων Ἰλλυρίδος.

Ὁμοίως καὶ ὑπὸ Forbiger[2] καὶ Kiepert[3] ἐπεκτείνεται ἡ Ἠμαθία ἀπ' Ἀξιοῦ μέχρις Ἁλιάκμονος· περιλαμβάνεται δ' οὕτως ἐν τῇ χώρᾳ ταύτῃ καὶ ἡ κατὰ ῥητὴν μαρτυρίαν Ἡροδότου[4] μεταξὺ Λυδίου καὶ Ἀξιοῦ ποταμοῦ κειμένη Βοττιαιίς.

Πᾶσαι δ' αὗται αἱ ὑπὸ τῶν ἐξαγγελθέντων φερόμεναι ἐπεκτάσεις τῶν ὁρίων Ἠμαθίας πέραν τῶν ποταμῶν Ἁλιάκμονος καὶ Λυδίου ἐξεπήγασαν πάντως ἐξ εἰδήσεων ἀναγομένων εἰς τὴν ἐν ὑστέρῳ χρόνῳ γενομένην ἀνακαίνισιν τοῦ μυθικοῦ ὀνόματος τῆς χώρας ταύτης ὑπὸ τῶν ἀρχαίων,[5] ἀπονεμόντων αὐτῇ

---

1) Handbuch der alten Geogr. σ. 407. «Emathia oder Mygdonia alles Land nördlich über Pieria zwischen dem Axius und der Grenze der Illyris græca, oder den Candavischen Gebirgen» Ἡ δὲ Μυγδονία καθ' Ἡρόδοτον (VII, 123) καὶ Θουκυδίδην (II, 99) ἔκειτο ἐκεῖθεν (πρὸς ἀνατολάς) τοῦ ποταμοῦ Ἀξιοῦ.

2. Ἐν Pauly's Real-Encycl. IV, σ. 1338. «Oestlich von Lyncestis und Eordäa im südöstlichen Theile des einst von den Pieriern bewohnten Landstrichs zog sich die Landschaft Emathia von Axius nach dem Haliakmon herab.»

3. Lehrbuch der alten Ceogr. σ. 310. «Emathia. Die gegen die Küste hin sandige Ebene.... durch welche Axios und Haliakmon .. münden, heisst zugleich im engeren Sinne Μακεδονίς.»

4. VII, 123—127.

5. Müller : Ueber die Wohnsitze κτλ. des Maked. Volks σ. 41 «Später wurde der alte mythische Name ernenert; und noch Ptolemäus kennt ein Emathien, in dem Kyrrhos, Eidomenä, Gorthynia, Edessa, Beröa, Pella liegen.—Πρβλ. Abel: Maked. σ. 26· Für diese Ausdehnung spricht auch der Umfang Emathias bei der späteren Erneueruug des Namens.»

πλείω ἔκτασιν καὶ ταύτῃ δ'ἑπομένως πλείους πόλεις·[1] τὸν πρῶτον δ' ὅμως πυρῆνα αὐτῆς ζητητέον ἐν τῇ μεταξὺ τῶν εἰρημένων ποταμῶν χώρᾳ καὶ περὶ τὴν πόλιν Ἔδεσσαν.

Οὕτως οὖν συνῳδὰ τοῖς προειρημένοις περιωρίζετο ἡ χώρα Ἠμαθία ἐκ δυσμῶν μὲν ὑπ' Ἐορδαίας,[2] ἐξ ἀνατολῶν δ' ὑπὸ Βοττιαιίδος[3] καὶ Πιερίας, νοτιόθεν ὑπ' Ἐλιμείας καὶ βορειόθεν ὑπὸ τῆς κοιλάδος μὲν τοῦ ποταμοῦ Λυδίου ἐντεῦθεν τῆς βορείου τε καὶ ἀνατολικῆς τοῦ ὄρους Βίτσι σειρᾶς, τῆς καλουμένης νῦν

---

1. Πτολεμαῖος III, 13, 39. «Ἠμαθίας (πόλεις)· Εὔρωπος, Τύρισσα, Σκύδρα, Μύεζα ἢ Μίεζα, Κυριὸς (ἢ Κύρρος), Ἰδομένη, Γορδηνία ἢ Γο(υ)ρδουνία, Αἴδεσσα (ἢ Ἔδεσσα), Βέρροια, Αἰγαία, Πέλλα.» Πρβλ. Liv. XL. 3.

2. Delacoulonche: Mémoire .. sur le berceau de la puis. macéd. κτλ. σ. 5. «... à l'ouest elle (l'Emathie) comprenait l'un de versants de la chaîne de montagues au delà de laquelle se trouvait l'Eordée.»—Ἀκατάληπτός ἐστιν ὁ ὑπὸ Forliger: Geographie κτλ. III. σ. 1061 γινόμενος προσδιορισμὸς Ἠμαθίας. «Westlich, λέγει, von Eordäa, Lyncestis und Pelasgiotis folgte zwischen dem Haliacmon und Axios die von Ludias durchströmte Landschaft Emathia.» — Καὶ πρῶτον μὲν δυσμικῶς Ἐορδαίας μὲν ἔκειτο οὐχὶ ἡ χώρα Ἠμαθία, ἀλλ' ἡ Ὀρεστὶς καὶ Λυγκηστὶς, Λυγκηστίδος δὲ δυσμικῶς ἦν τὰ Ἰλλυρίδος ὅρια. Εἶτα δὲ ἡ χώρα Πελασγιῶτις κειμένη ἐν Θεσσαλίᾳ οὐδὲν κοινὸν ἐνταῦθα μετ' Ἠμαθίας ἔχει. Βλ. χάρτας Müller καὶ Kiepert: Neuer Atlas von Hellas κτλ. πίν. VII.

3. Ἡ χώρα Βοττιαιὶς ἐν τῷ χάρτῃ Kiepert: Neuer Atlas κτλ. πίν. VII, οὐ κεῖται μεταξὺ Λυδίου καὶ Ἀξιοῦ, ὡς ὁρίζει αὐτὴν ὁ Ἡρόδοτος VII, 123-127, ἀλλ' ἐκτείνεται ἐντεῦθεν τοῦ ποταμοῦ Λυδίου πρὸς τὴν πόλιν Βέροιαν καὶ τὸν Ἀλιάκμονα ποταμόν.—Πρβλ. Delacoulonche: Mémoire... sur le berceau de la puis. macéd. κτλ. σ. 6 «La Bottiée comme nous essaierons de le montrer plus tard dépassait le Lydias et suivait les bords de l'Haliacmon jusqu'au territoire de Berœa.» Ἰδ. καὶ σελ. 51-52.

πρῶτον μὲν Νίτσου εἶτα δὲ Παίκου,[1] κατὰ τὸν χάρτην Müller,[2] ὑπὸ τῆς Ἀλλωπίας δέ, κατὰ τὸν χάρτην Kiepert.[3]

Ἐν ταύτῃ δὲ τῇ θέσει κειμένη ἡ χώρα Ἠμαθία, ἐξετείνετο κατὰ μῆκος μέν, ἀπ' ἀνατολῶν πρὸς δυσμάς, ἐπὶ δέκα καὶ ἕν, κατὰ πλάτος δέ, ἀπὸ βορρᾶ πρὸς νότον, ἐπὶ πέντε γεωγραφικὰ μίλια.[4] Περιελάμβανε δ' ἐν τῇ ἐκτάσει ταύτῃ καὶ πόλεις τινάς, περὶ ὧν εὐθὺς κατωτέρω ὁ λόγος ἔσται.

---

1. Ἰδ. Kiepert: Neuer Atlas von Hellas κτλ. πίν. XV.—Πρβλ· Delacoulonche: Mémoire .... sur le berceau de la puis. macéd. κτλ. σ. 5. «Ses limites (les limites de l'Emathie) au nord étaient suivant toute vraissemblence, les ramifications des montagnes d'Edesse.... »

2. Ueber die Wohnsitze κτλ. des maked. Volks ἐν τέλει.

3. Neuer Atlas von Hellas κτλ. πίν. VII. Περὶ τῆς θέσεως Ἀλμωπίας διαφωνοῦσιν οἱ μεταγενέστεροι γεωγράφοι τε καὶ ἱστορικοί. Οἱ μὲν τούτων ἀποδέχονται αὐτὴν ἐπὶ τῆς δυτικῆς τοῦ Ὀλύμπου πλευρᾶς κειμένην, μεταξὺ Πιερίας καὶ Πελαγονίας Τριπόλεως· ἡγέτης δ' οὕτως εἰπεῖν τῆς γνώμης ταύτης ἐστὶ Müller: Ueber die Wohnsitze κτλ. des maked. Volks σ. 15. Orchomenos σ. 133, 244. Τούτῳ δ' ἕπονται οἱ μεταγενέστεροι Flathe: Gesch. Maced. σ. 19. Abel: Maked. σ. 145. καὶ B. Giseke: Thrakisch-Pelasgische Stämme κτλ. σ. 22.—Οἱ δὲ τιθέασιν αὐτὴν πρὸς βορρᾶν τῆς πόλεως Ἐδέσσης καὶ τῆς ἄνω κοιλάδος τοῦ ποταμοῦ Λυδίου· ὑπὲρ δὲ τῆς γνώμης ταύτης στρατεύονται Kiepert ὁ πάνυ: Neuer Atlas von Hellas κτλ. πίν. VII.—Forbiger: Geogr. III σ. 1061 καὶ ἐν Pauly's Real-Encycl. I, σ. 374.—Leake Travels in North. Greece III σ. σ. 445 καὶ Heuzey. et Daumet: Mis. archéol. de Macédoine κτλ. σ. 322.

4. Abel: Maked. σ. 9-10. «Nördlich von Pierien breitet sich das makedonische Tiefland aus.... seine grösste Ausdehnung beträgt von Osten nach Westen 11, von Nord nach Süd 5. g. Meilen.—Πρβλ. Born: Zur makedonischen Geschichte σ. 3.

6') ΠΕΡΙ ΤΩΝ ΠΟΛΕΩΝ ΗΜΑΘΙΑΣ

Εἴρηται ἤδη ἡμῖν ἐν τοῖς ἔμπροσθεν,[1] ὅτι ὁ ἀριθμὸς τῶν πόλεων, τῶν ἐν Ἠμαθίᾳ κατὰ τὴν ἀρχαιότητα περιλαμβανομένων, ἐξαρτᾶται ἐκ τῆς ἐκτάσεως τῆς χώρας· οἱ προεκβάλλοντες[2] τὴν χώραν ταύτην πέραν τῶν πρώτων αὐτῆς ὁρίων, μεταξὺ Ἁλιάκμονος καὶ Λυδίου, ἀπονέμουσιν αὐτῇ πλείους πόλεις· ἡμῖν δὲ στοιχοῦσι τῇ ὀρθῇ, καθ' ἡμᾶς, Müller[3] γνώμῃ καὶ περιορίζουσι τὴν χώραν Ἠμαθίαν ἐν τῇ ἰδίως Μακεδονίδι Ἡροδότου[4] μεταξὺ τῶν προρρηθέντων ποταμῶν,[5] ἔσται ὁ λόγος ἐνταῦθα περὶ ἐκεί-

---

1. Βλ. ἀνωτέρω σ. 39 σημ. 1.

2. Πτολεμαῖος III, 13, 39. Καί οἱ τούτῳ παρακολουθοῦντες μεταγενέστεροι Mannert. Geogr. σ. 424. Sickler: Handbuch der alten Geogr. σ. 407.—Forbiger ἐν Pauly's Real-Encycl. IV, σ. 1338, καί Abel: Maked. σ. 26.

3. Ueber die Wohnsitze κτλ. des maked. Volks σ 40-41, πρβλ. ἀνωτέρω σ. 37 σημ. 1.

4. VII, 127 «ἀρξάμενος (ὁ Ξέρξου στρατὸς) ἀπὸ Θέρμης πόλιος καί τῆς Μυγδονίης μέχρι Λυδίεώ τε ποταμοῦ καί Ἁλιάκμονος, οἳ οὐρίζουσι γῆν τὴν Βοττιαιίδα τε καί Μακεδονίδα.»

5) Ἵνα ὦμεν συνεπεῖς τοῖς ἐν τοῖς μετέπειτα ρηθησομένοις περί Μιέζης, συμπεριλαμβανομένης καί ταύτης μεταξὺ τῶν τῆς Ἠμαθίας πόλεων, ἀνάγκη προσημειῶσαι ἐνταῦθα, ὅτι κατὰ τὸν πρὸς ἀνατολὰς ροῦν τοῦ ποταμοῦ Ἁλιάκμονος ἐν μέσῳ Πιερίας καί Ἠμαθίας περί τὸν Βούνασαν καί τὰς πόλεις Βέροιαν καί Μίεζαν (ἴδ. χάρτην Kiepert Neuer Atlas von Hellas κτλ. πίν. VII), ὡς ὅριον μεταξὺ ἀμφοτέρων τούτων τῶν χωρῶν οὐ δύναται ἐκληφθῆναι ἀκριβῶς ἡ κοίτη τοῦ ποταμοῦ τούτου, ὄντος ἄλλως διαβατοῦ, ἀλλ' ἡ ὑψηλή καί μακρά τῶν Πιερικῶν ὀρέων σειρά, ἀποτελοῦσα ἐνταῦθα τὸ ἀσφαλέστατον ὅριον, ὡς ὀρθῶς παρατηρεῖται τοῦτο ὑπὸ Heuzey et Daumet: Mis. archéol. de Macéd. σ. 183. «Il est de fait que la chaîne épaisse des monts Pieriens forme en cet endroit une limite plus effective que le cours gnéable de l' Haliacmon, et que cette partie de la

νων μόνον τῶν πόλεων, αἵτινες ἔκειντο ἐντὸς τοῦ χώρου τούτου. Ἡ δὲ περὶ τούτων ἔρευνα στραφήσεται κυρίως περὶ τοὺς ἀρχαιοτάτους χρόνους ἀναφερομένους εἰς τὴν πρώτην σύστασιν τῆς χώρας Ἠμαθίας.

1. *Περὶ Ἐδέσσης ἢ Αἰγῶν.*

Ἡ πόλις αὕτη καλουμένη νῦν Βοδενὰ ἢ Βοδινά,[1] κεῖται καὶ σήμερον ἔτι ἐπὶ θέσεως ἐξόχως λαμπρᾶς καὶ μεμαλοπρεποῦς [2] μεταξὺ δύο βραχιόνων τοῦ διατέμνοντος τὴν χώραν Ἠμαθίαν ὀρεινοῦ συστήματος, διακρινομένων ὑπὸ τῶν ἐγχωρίων διὰ τῶν ὀνομάτων Τούρλα καὶ Νίτσου,[3] ἐπὶ σπιλάδος ἀπο-

---

rive droite du fleuve paraît se relier naturellement à la grande plaine de l'Emathie.» Πρβλ. καί σ. 457. «De là on peut induire que, dans l'antiquité, il dependait (le canton de Palatitza, ἔνθα ἡ Μίσζα) de l Emathie plutôt que de la Pierie, dont les limites naturelles sont mieux marquées en cet endroit par les montagnes que par le cours de l' Haliacmon.»

1. Delacoulonche : Mémoire : sur le berceau de la puis. macéd. κτλ. σ. 8. «Edessa (Aegées) Vodena» καί σ. 9. «C'est sur l' emplacement de Vodena que s' élevait l' ancienne Edessa, la ville de Garanus la première capitale de la Macédoine. - Ἡ ἀρχαία κλῆσις τῆς πόλεως Ἐδέσσης διεφυλάχθη ἐν τῷ τίτλῳ τοῦ νῦν Ἕλληνος μητροπολίτου τῆς ὅλης ἐπαρχίας, ἑδρεύοντος ἐν τῇ πόλει ταύτῃ.— Πρβλ. Grisebach: Reise κτλ. II, σ. 103.

2. Περιγραφὰς τῆς θέσεως τῆς πόλεως ταύτης βλ. Hadschi-Calfa : Rumeli und Bosna : Uebers. von Hammer Wien 1812 σ. 87. – Leake : Travels κτλ. III, σ. 271.—Abel Maked. σ. 111.— Grisebach : Reise κτλ. I, σ. 83 — Delacoulonche : Mémoire. . sur le berceau de la puis. macédon. κτλ. σ. 8– 9. Καί Cousinéry Voyage dans la Macédoine I, σ. 78. ἔνθα καί εἰκών τῆς θέσεως τῆς πόλεως ταύτης.

3. Kiepert : Neuer Atlas von Hellas κτλ. πίν. XV.

κρήμνου.[1] Ἐκ παλαιοτάτων δὲ χρόνων ἐκαλεῖτο Ἔδεσσα καὶ εἶτα Αἰγαί.[2]

Ὁ Mannert[3] οὐ μόνον ἐσφαλμένως τίθησι τὴν πόλιν ταύτην ἐκτὸς τῆς ἀρχῆθεν Ἡμαθίας περὶ τὸν Ἐριγῶνα ποταμόν, ἀλλὰ δὴ καὶ ἀποποιεῖται τὴν ταὐτότητα τῆς ἀρχαίας πόλεως Ἐδέσσης μετὰ τῆς νῦν Βοδενῶν· διὸ δικαίως ἀνῃρέθη ὑπ' ἄλλων, ὡς παρατηρεῖται τοῦτο ὑπ' Abel,[4] ἀποδεχομένου ἅμα τὴν ταὐτότητα τῶν πόλεων τούτων.

Ὁ δὲ Preller[5] ἡμαρτημένως ἀναγράφει τὴν ἀρ-

---

1. Περὶ τῆς θέσεως τῆς πόλεως Βοδενῶν ἐν τῇ ἀρχαίᾳ Ἠμαθίᾳ φέρονται ὑπὸ Delacoulonche: Mémoire...sur le berceau de la puis. macéd. κτλ. σ. 8. τὰ ἑξῆς «La ville bulgare (?) de Vodena est situé à l' extremité nord-ouest de l' ancienne Emathie, dans une vallée que les dernières ramifications du Kitarion séparent de la grande plaine du Lydias et qui ne communique avec elle que par une étroite ouverture des collines . . .»

2. Σχολ. Κλημ. Ἀλεξ. ἐκδ. Renohold Klotz ἐν Λειψίᾳ 1831—34. Τόμ. IV, σ. 97. «Καί τὴν πρότερον καλουμένην Ἔδεσσαν πόλιν Αἰγὰς μετωνόμασεν (Κάρανος) ἀπὸ τῶν αἰγῶν.»—Πρβλ. Belley: Observations sur l' histoire κτλ. de la ville Thessalonique: παρὰ Tafel: de Thessalonica κτλ. σ. 321. «Edessa nommée autrement Aegé, ou la ville de chevres, fut une ville rayale avant Pella»

3. Geogr. κτλ VII, σ. 481. «Vermuthlich lag sie (Edessa) am Fluss Erigon... Man arklärt die Sladt für das heutige Vodina, die Beschreibung der Schriftsteller im Mittelatler spricht nich für diese Annahme.»

4. Maked. σ. 111. «Die von Mannert dagegen vorgebrachten Gründe sind von Grisebach und Tafel auf das bündigste widerlegt und die Identität beider Städte dadurch ausser allen Zweifel gesetzt.»—Πρβλ. Grisebach: Reise κτλ. II, σ. 102.

5. Ἐν Pauly's Real-Eneycl. III, σ. 20. «Edessa Stadt in Macedonien jetzt Edissa oder Moglena.»-Πρβλ. M. d' Anville: Geographie κτλ. σ 64. «et le premier de ces noms (Edessa) lui est resté, quoique celui de Moglena, que porte le pays des environs lui soit aussi appliqué.» (?)

χαίαν πόλιν Ἔδεσσαν καὶ νῦν ἔτι Ἔδισσαν ἢ Μογλενὰ καλουμένην, συγχέων πάντως διὰ τοῦ δευτέρου ὀνόματος τὴν πρὸς βορρᾶν Βοδενῶν ἐκτεινομένην μικρὰν χώραν Μογλενῶν,[1] γνωστὴν σήμερον ὑπὸ τὸ τουρκικὸν ὄνομα Καρατζᾶ-ὀβασῆ, ἐν ᾗ κεῖνται πλεῖστ' ἀσήμαντα κωμίδια.

Ἡ πόλις Ἔδεσσα ἦν πρωτεύουσα τοῦ ἀρχαιοτάτου μικροῦ βασιλείου,[2] ὁπόθεν καθ' Ἡρόδοτον[3] ὁρμώμενοι οἱ Τημενίδαι καθυπέτασσον καὶ τὴν ἄλλην Μακεδονίαν. Διαρρεῖται δ' ὑπό τινος ποταμοῦ καλουμένου νῦν ὑπὸ τῶν ἐγχωρίων Βόδα[4] καὶ καταπίπτοντος ἐκ τοῦ ὕψους 80—100 μέτρων,[5] εἰς ὃ ἡ πόλις κεῖται, ἐν μεγαλοπρεπεστάτῳ καταρράκτῃ, μακρόθεν ὁρατῷ,[6] οὗ τὰ ὕδατα διαβρέχουσι τὴν κοιλάδα, ἐν ᾗ τὸ πάλαι καθ' Ἡρόδοτον[7] ἦσαν οἱ κῆποι Μίδου

1. Tozer: Reseasches κτλ. I, σ. 384. «and north of Vedena is the district called Moglena...»

2. Forbiger: Geographie III, σ. 1061. «Edessa (Ἔδεσσα) die Residenz der älteren macedonischen Könige.»—Πρβλ. Tozer: Researches κτλ. I, σ. 156. «(Ἔδεσσα) the original capital of Macedonia»

3. VIII. 138 «Ἐντεῦθεν δὲ ὁρμεόμενοι, ὡς ταύτην ἔσχον, κατεστρέφοντο κα' τὴν ἄλλην Μακεδονίην.»

4. Ὑπὸ Forbigen: Geographie III, σ. 1061 ἐσφαλμένως τίθεται ἡ πόλις αὕτη περὶ τὸν Λυδίαν ποταμόν. Ὁμοίως περὶ τὸν αὐτὸν ποταμὸν τίθησι τὴν πόλιν ταύτην καὶ Born: Zur makedonischen Geschiehte: σ 3. «Aegae... lag an dem Flusse, der... unter dem Namen Lydias, in den Thermaischen Meerbusen fliest.» Ὁ συγγραφεὺς οὗτος ὀνομάζει ἐνταῦθα τὴν πόλιν μόνον Αἰγάς, ἐν σελίσιν ὅμως 8ῃ καὶ 9ῃ ταυτίζει αὐτὴν μετὰ τοῦ ὀνόματος Ἐδέσσης. ὃ προτάσσει ὡς ἕπεται «Edessa (Aegae).

5. Kiepert: Lehrbuch der alten Geographie σ. 100.

6. E. Curtius: Griechische Geschichte. III, σ. 400.

7. VIII, 138 «Οἱ δὲ ἀπικόμενοι ἐς ἄλλην γῆν τῆς Μακεδονίης οἴκησαν πάλας τῶν κήπων τῶν λεγομένων εἶναι Μίδεω τοῦ Γορδίεω.»

τοῦ Γορδίου, ἔνθ' ἑάλω ὁ Σιληνὸς ὑπὸ Μακεδόνων.

Ὠνομάσθη ἡ πόλις αὕτη Ἔδεσσα ἕνεκα τῆς πλησμονῆς τῶν ὑφ' ὧν διαῤῥεῖται ὑδάτων·[1] ἀλλὰ καὶ τὸ δεύτερον αὐτῆς ὄνομα Αἰγαὶ[2] οὐδὲν ἄλλο σημαίνει εἰ μὴ ὕδωρ, ὡς ὀρθῶς καὶ διὰ πειστικῶν μαρτυριῶν καὶ παραδειγμάτων ἀποδείκνυται ὑπ' Abel,[3] ᾧ ἕπεται καὶ Born.[4]

Ἐπὶ τούτοις δὲ παρατηρητέον ἐνταῦθα καὶ τοῦτο, ὅτι καὶ τὸ τρίτον ὄνομα Βοδενά, ὅπερ ἡ πόλις αὕτη λαβοῦσα ἐν τοῖς τοῦ μεσαίωνος χρόνοις διαφυλάττει

---

1. Στεφ. Βυζαντ. «Ἔδεσσα, πόλις Συρίας διὰ τὴν τῶν ὑδάτων ῥύμην οὕτω κληθεῖσα ἀπὸ τῆς ἐν Μακεδονίᾳ.»—Τὴν ὀνομασίαν τῆς ἀρχαίας πόλεως Ἐδέσσης ἐκ τοῦ φρυγικοῦ ὀνόματος βέδυ ὕδωρ σημαίνοντος ἴδ. παρὰ Tozer: Researches κτλ. I, σελ. 157 σημ. 12. καὶ A. Gutschmid: Die Makedonische Anagraphe: in Symbola Philolog. Bonn. I. τομ. ἐν Λειψίᾳ 1864 σ. 124. σημ. 34. «Der Name der älteren Phrygischen Stadt Ἔδεσσα scheint allerdings von dem Wasserreichtum der Gegend hergenommen zü sein; βέδυ ist bekannt als das Phrygische Wort für «Wasser.»— Πρβλ. Abel: Maked. σ. 113 καὶ Tafer: de Thessalonica κτλ. σ. 307—310, ἔνθα διὰ μακρῶν ἀποδεικνύασι τὴν κλῆσιν τῆς πόλεως Ἐδέσσης ὡς ἐκ τῶν πολλῶν αὐτῆς ὑδάτων.

2. Οὐ ἡ παραγωγὴ συνᾴδὰ ἄλλῃ τινὶ παραδόσει παρ' Ἰουστίνῳ VII, 1. διασωζομένη, καθ' ἣν ἡ πόλις ἀπὸ τῶν Αἰγῶν Καράνου ὠνομάσθη Αἰγαί, ἀποκρούεται ὑπὸ τῶν μέν, πρβλ. Abel: Maked σ. 113 «Auf nichts Anderes bezieht sich auch der Name Aegae, dessen Ableitung von des Caranos Ziegen höchst abgeschmackt ist,» καὶ Born: Zur makedonischen Geschichte: σ 3. «Aber Aegae können wir mit den Alten von den Ziegen des Caranos nicht ableiten.» καὶ ὑποστηρίζεται ὑπ' ἄλλων. Πρβλ. Gutshcmid: Die Makedonische Anagraphe: κτλ. σ, 124. ὅστις ἀποκρούων τὴν ὑπ' Abel (Maked. σ. 101.) φερομένην ἐτυμολογίαν τοῦ ὀνόματος Καρανῶ ἐκ τοῦ φοινικικοῦ, ὀρθῶς ἀνάγει αὐτὴν εἰς τὸ ἑλληνικὸν κάρηνον.

3. Makedonien κτλ. σ. 113 σημ. 4.

4. Zur makendonischen Geschichte: σ. 4.

μέχρι τοῦ νῦν, εἰς τὴν αὐτὴν ἀνάγεται φυσικὴν ἰδιότητα τοῦ τόπου, καταρρύτου λίαν, ὡς προείρηται, ὄντος, εἰς ἣν ἀπέβλεψαν πάντως ἐν τῇ μνησθείσῃ ἐποχῇ οἱ τὸ νέον τοῦτο ὄνομα παρασχόντες τῇ πόλει Βούλγαροι.[1]

Ὁ διπλοῦς τύπος, Ἔδεσσα καὶ Αἰγαί, τοῦ ὀνόματος τῆς προκειμένης πόλεως παρέσχεν ἀφορμὴν τοῖς τ' ἀρχαιοτέροις καὶ πολλοῖς τῶν μεταγενεστέρων ὅπως ὑποθέσωσι τὴν ὕπαρξιν δύο πόλεων μακρὰν ἀλλήλων κειμένων καὶ οὐδὲν τὸ κοινὸν ἐχουσῶν.

Καὶ ἐκ μὲν τῶν ἀρχαιοτέρων Πτολεμαῖος[2] καταλέγων ἐν ταῖς πόλεσιν Ἡμαθίας Τυρίσσῃ, Ἐδέσσῃ, Βεροίᾳ, Αἰγαῖς κτλ, ἀμφότερα τὰ ὀνόματα, διαστέλλει αὐτὰ ὡς δύο πόλεις, διόπερ εὐλόγως πάνυ ἀνασκευάζεται ὑπὸ Marin. Gent.[3] Ἐκ δὲ τῶν μεταγενεστέρων ὑπὸ Tafel[4] καὶ Forbiger[5] διακρίνονται ταῦτα ὡς δύο πόλεις, ὧν ἐν μέσῳ ἡ πόλις Κίτιον τάσσεται· καὶ ὁ μὲν πρῶτος τῶν συγγραφέων τούτων (ὁ Tafel) δεόντως ἀνασκευάζεται ὑπὸ Delacoulonche,[6]

---

1. Παραγαγόντες αὐτὸ ἐκ τῆς βουλγαρικῆς λέξεως woda, ὕδωρ σημαινούσης.

2. Ἰδ. ἀνωτέρω σ. 39 σημ. 1.

3. De Archelao, Macedon. rege: Lugduni Bataverum 1834. σ. 23. «Ptolemaeus falli videatur duas has, easque divarsas urbes fuisse memorans.»

4. De Via Egnatia.

5. Geographie III, σ. 1061 «Aegae die Nekropol der alten maced. Könige wahrscheinlich zwischen Citium und Edessa.» Πρβλ. αὐτόθι ἐν 72φ σημ.

6. Mémoire..... sur le berceau de la puis. macédon. κτλ. σ. 10—14. ἐν τέλει δ' ἐπιφέρονται τάδε· «Edessa et Aegées ne sont donc qu' une seule et même ville.»

ὁ δὲ δεύτερος δι' ὧν λέγει [1] αὐτὸς ἑαυτὸν ἀναιρεῖ.

Sickler[2] ἀποδεχόμενος τὴν ὑπὸ Ἰουστίνου VII, 1, φορομένην παράδοσιν περὶ τῶν αἰγῶν Καράνου, συνάπτει ἀμφότερα τὰ ὀνόματα ταῦτα πρὸς δήλωσιν τῆς αὐτῆς πόλεως.

Ὁ δ' Abel πειρόμενος συμβιβάσαι τὰς ὑπὸ Πτολεμαίου[3] ὡς δύο ἀναφερομένας πόλεις Ἔδεσσαν καὶ Αἰγὰς ὡς δύο σημεῖα οὐ πόρρω ἀλλήλων κείμενα, ἀνάγει ἀμφότερα τὰ ὀνόματα ἐπὶ τῆς αὐτῆς πόλεως.[4]

Ὁμοίως καὶ ὑπὸ Niebuhr[5] ἐκλαμβάνονται αἱ πόλεις αὗται ὡς μία. Πρὸς δὲ καὶ ὁ Μ. Cousinéry[6] διαρρήδην ἀποφαίνεται ὑπὲρ τῆς ταὐτότητος τῶν πό-

---

1. Ἐν Pauly's Real-Encycl. IV, σ. 1338, ὅπου ἐν ἀντιθέσει πρὸς τ' ἀλλαχοῦ (Geogr. III, σ. 1061. ἴδ. ἀνωτέρω σ. 46 σημ. 5) ὑπ' αὐτοῦ εἰρημένα συνδυάζει ἀμφότερα τὰ ὀνόματα ἐπὶ τῆς αὐτῆς πόλεως ἀναφερόμενα.

2. Handbuch der alten Geogr. σ. 411. «Edessa, Ἔδεσσα und Ἔδεσα auch Αἴδεσσα späterhin, wie engegeben wird, oder vielmehr mehr graecisirt Αἰγαί, Αἰγή, Αἰγαία und Αἴγεια.» —Ὁ τύπος Αἰγαὶ ἀπορρίπτεται ὑπὸ Niebuhr: Vorträge über alte Länder κτλ. σ. 293 καὶ ἀντ' αὐτοῦ ἀποδεκτὸς γίνεται ἕτερος τύπος Αἰγέαι.» Hier ist die alte makedonische Hauptstadt Aegeae (nicht Aegae).»... Ἐν τούτοις ὁ αὐτὸς εἰσδέχεται καὶ τὸν ἕτερον τύπον Aegae ἴδ. κατωτέρω εὐθὺς σημ. 5.

3. III, 13. 39. ἴδ. ἀνωτέρω σ. 39 σημ. 1.

4. Abel: Maked. σ. 114. «Jendenfalls aber müssen wir beide in die nächste Nähe setzen.»

5. Vorträge über alte Länder κτλ. σ. 279. «Dann die sogenannten eigentlichen Makedonier, welche um Edessa oder Aegae wohnten.» Πρβλ. τὸν αὐτὸν ἱστορικὸν ἐν σελίδι 291. «Dieser Ort hatte zwei Namen, Edessa und Aegeae.»

6. Voyage dans la Macédoine I, σ. 75. «La ville de Vodina a été célèbre sous le nom d' Edesse et sous celui d' Egé.» καὶ σ. 13. «Ce sont Edesse anciennement (?) Egé et aujourd' hui Vodina.» — Πρβλ. καὶ Μ. d' Anville: Geogoaphie κτλ. σ. 64. — Βλ. ἀνωτέρω σ. 43 σημ. 2.

λεων τούτων μετὰ τῆς νῦν Βοδενῶν. Καὶ Kiepert[1] δ' ὁ πάνυ ἐν ἑνὶ καὶ τῷ αὐτῷ σημείῳ ἀμφότερ' ἀναγράφει τὰ ὀνόματα. Ὡσαύτως καὶ E. Curtius[2] ἀποδέχεται τὴν πόλιν Ἔδεσσαν καὶ Αἰγὰς καλουμένην.

Τὴν γνώμην δὲ τῶν τελευταίων τούτων ὑπολαμβανόντων Ἔδεσσαν καὶ Αἰγὰς ὡς τὴν αὐτὴν πόλιν, ὀρθὴν θεωροῦντες, συνεπιφέροντες δὲ καὶ τὴν γνώμην Arnold Schäfer μετὰ βαθείας πολυμαθείας πραγματευσαμένου περὶ τῆς Μακεδόνων βασιλείας,[3] ὃς ἀναποσπάστως συνδέει (σελ. 4.) Ἔδεσσαν καὶ Αἰγάς, ἀποφαινόμεθα ἀδιστάκτως μίαν οὖσαν τὴν πόλιν, ἀμφότερα τὰ ῥηθέντα ὀνόματα ἐν τῇ ἀρχαιότητι εἰληφυῖαν. Καὶ τὸ μὲν ἀποδίδοται ὑπ' Abel τῇ ἐν τῇ κοιλάδι κειμένῃ πόλει Ἐδέσσῃ, τὸ δ' ἕτερον τῇ ἀκροπόλει αὐτῆς κειμένῃ ἐπὶ τοῦ βράχου, ὄντος φυσικοῦ ἐρύματος αὐτῆς.[4]

Ἦν δὲ ἡ πόλις αὕτη πρωτεύουσα τοῦ κράτους ἀπὸ

---

1. Neuer Atlas von Hellas κτλ. πίν. VII, 13. καὶ Lehrbuch der alten Geogr. σ. 310, ἔνθ' ὅμως ἀποδέχεται, ὅτι ἡ αὐτὴ πόλις ἐκαλεῖτο πρότερον Αἰγαῖαι καὶ εἶτα Ἔδεσσα.

2. Griech. Geschichte III. σ. 400. «Das war Edessa oder Aegae, ein uralter Ort.» Πρβλ. Leake : Travels κτλ. ἐν τῷ ἐν τέλει III, τόμου συνημμένῳ χάρτῃ Μακεδονίας

3. Ἐν Historisches Taschenbuch, sechste Folge, dritter Jahrgang, Leipzig 1884.

4. Maced. σ. 115. « und es kann jetzt nimmer gewagt erscheinen, wenn ich Edessa.... ins Thal, Aegae aber auf den Berg setze.»— Πρβλ. Cousinéry : Voyage dans la Macéd. I, σ. 79. «Il paraît que la ville actuelle était autrefois le château d' Edesse; quelques pans de murs antiques m' avaient fait sonpçonner que cette ancienne ville était située sur la partie base du grand plateau.»

τῶν ἀρχαιοτάτων χρόνων μέχρις Ἀρχελάου (413—399), ἐφ' οὗ μετετέθη ἡ τοῦ βασιλείου ἕδρα εἰς Πέλλαν. Περὶ δὲ τοῦ χρόνου τῆς μεταθέσεως διάφοροι ἐξηνέχθησαν μέχρι τοῦ νῦν γνῶμαι. Οἱ μὲν[1] ἀποδέχονται τὴν μετάθεσιν γενομένην ἐπὶ Ἀμύντου III, οἱ δὲ[2] ἐπὶ Φιλίππου II, πατρὸς Ἀλεξάνδρου τοῦ Μεγάλου καὶ ἄλλοι[3] ἐπ' Ἀρχελάου μετενεγκόντος τὴν ἕδραν τοῦ βασιλείου ἀπὸ τῆς Ἐδέσσης εἰς Πέλλαν, ὅπως ᾖ πλησιαίτερον τοῦ ἑλληνικοῦ πολιτισμοῦ· ἂν δέ τις ἀπίδῃ εἰς ὅσ' ἀγαθὰ ὁ ἡγεμὼν οὗτος διέπραξεν ἐν τῇ χώρᾳ, ἐκφραστικώτατα ὑπὸ Θουκυδίδου[4] ἀπαριθμούμενα, πείθεται μᾶλλον, ὅτι οὗτος ἦν ὁ πραγ-

---

1. Cousinéry : Voyage κτλ. I, σ. 5—6. «... Edessa et Pella, l' une et l' autre anciennes capitales de la Macédoine ; la première depuis Caranus jusqu' à Amyntas III ; la seconde depuis ce dernier roi.»

2. Forbiger : ἐν Pauly's Real-Encycl κτλ. V. σ. 1283. «Pella...... aber doch immer nur ein kleiner und unberühmter Ort war, bis sie Philipps Zeiten, dessen Geburtsort sie war, die Residenz der makedonischen Könige wurde.» —Πρβλ. Niebuhr: Vortäge über alte Länder κτλ. σ. 295. « Philippos . . . . that den ersten Schritt dazu durch Verlegung der Residenz von dem entlegenen Aegeæ nach Pella » καὶ Kiepert: Lehrbuch der alten Geegr. σ. 310. « Philippos II. verlegte von hier (von Edessa) die Residenz in die Mitte der Ebene.... in Pella. »

3. Abel: Maked. σ. 198. « Für die Annäherung an Hellas war schon die Verlegung der Residenz von Bedeutung . . . . unter Archelaos trat diese Stadt (Pella).... an die Stelle von Edessa. » Πρβλ. A. Schäfer: Demosthenes und seine Zeit: Leipzig 1856 II. σ. 4 καὶ E. Gurtius: Griech. Geschichte III. σ. 409—410.

4. II. 100. «Ἦν δὲ οὐ πολλά, ἀλλὰ ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς βασιλεὺς γενόμενος τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε καὶ ὁδοὺς εὐθείας ἔτεμε καὶ τἄλλα διεκόσμησε τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις καὶ τῇ ἄλλῃ παρασκευῇ ἢ σύμπαντες οἱ ἄλλοι βασιλεῖς.»

ματώσας, πρὸς ταῖς λοιπαῖς βελτιώσεσι, καὶ τὴν μετάθεσιν τῆς ἕδρας πρὸς ὃν ἀνωτέρω ἐρρήθη σκοπόν.

Ἀλλὰ καὶ μετὰ τὴν μεταβολὴν ταύτην παρέμεινεν οὐδὲν ἧττον ἡ ἀρχαία πρωτεύουσα τοῦ κράτους ὡς ἱερὸν κέντρον[1] αὐτοῦ, ἔνθα[2] ἐθάπτοντο οἱ βασιλεῖς, ὡς ῥητῶς ἀναφέρουσι Πλίνιος[3] καὶ Διόδωρος,[4] οἷς φαίνονται παρακολουθοῦντες Niebuhr,[5] Forbiger[6] καὶ Kiepert,[7] καὶ ἔνθα, ὡς ὑπὸ Πολυβίου[8] λέγεται, προσεδέχθη ὁ Φίλιππος τοὺς μετὰ Χρυσογόνου Μακεδόνας.

---

1. Abel: σ. 110. «Edessa oder Aegæ als....... der geheiligte Mittelpunkt des Reichs blieb.»

2. Κυρίως ἐν τῇ ἀκροπόλει Αἰγαῖς.— Πρβλ. Abel: Maked. σ. 114. «als die Begräbnissstadt der Könige, als das makedonische Persepolis wird immer Aegæ, nie Edessa genannt.»

3. Plinius. Natur. Hist. IV. 33. «Oppida Aegiæ, in quo sepeliri mos reges»

4. XIX, 52, ἐκδ. Dindorf, Paris 1842-44. «Μετὰ δὲ ταῦτα βασιλικῶς ἤδη διεξάγων (Κάσσανδρος) τὰ κατὰ τὴν ἀρχήν, Εὐρυδίκην μὲν καὶ Φίλιππον τοὺς Βασιλεῖς, ἔτι δὲ Κύνναν, ἣν ἀνεῖλεν Ἀλκέτας, ἔθαψεν ἐν Αἰγαῖς, καθάπερ ἔθος ἦν τοῖς βασιλεῦσι.» — Τοὺς δὲ τάφους τούτους τῶν ἀρχαίων τῆς Μακεδονίας βασιλέων ἀνώρυξαν οἱ Γαλάται, οὓς Πύρρος ὁ τῆς Ἠπείρου βασιλεὺς ὡδήγησεν εἰς Μακεδονίαν κατ' Ἀντιγόνου τῷ 274 π. Χ. Καὶ τὰ μὲν ἐν τοῖς τάφοις ἀνευρεθέντα χρήματα διήρπασαν, τὰ δὲ ὀστᾶ τῶν τετελευτηκότων διέρριψαν. Ἴδ. Διοδ. XXII, 12. Καὶ Πλουτ. ἐν βίῳ Πύρ. 26.

5. Vorträge über alte Länder κτλ. σ. 293. «Hier (in Aegiæ) blieben die Königlichen Gräber noch in den Kriegen des Pyrrhos...»

6. Geogr. III σ. 1061. «....Aegæ... die Nekropol der alten maced. Könige»

7. Lehrbuch der alten Geogr. σ. 310. «Die hoch gelegene Felsenburg blieb bis zum Ende des Reichs der Begräbnissplatz der makedonischen Könige.»

8. V. 97. «Αὐτὸς δὲ παραλαβὼν κτλ. ἧκεν ἔχων εἰς Ἔδεσσαν· προσδεξάμενος δ' ἐνταῦθα καὶ τοὺς μετὰ Χρυσογόνου Μακεδόνας ἐξώρμησε μετὰ πάσης τῆς δυνάμεως.»

Ἐκ χωρίου τινὸς Διοδώρου [1] φαίνεται ἡ πόλις αὕτη κεκτημένη ἐν τῇ ἀρχαιότητι δημόσια οἰκοδομήματα, ἐν οἷς καὶ τὸ θέατρον, παρ' ᾧ ἐφονεύθη Φίλιππος ὁ πατὴρ Ἀλεξάνδρου τοῦ μεγάλου ὑπὸ Παυσανίου τινὸς ἐξ Ὀρεστίδος καταγομένου, ὡς ὁ αὐτὸς Διόδωρος[2] ἐξηγεῖται διὰ μακρῶν τὰ κατὰ τὴν δολοφονίαν· ἱκαναὶ δ' ἐπιγραφαὶ ἀπογραφεῖσαι ὑπὸ Delacoulonche ἐκ διαφόρων ἀρχαίων λειψάνων σωζομένων ἐν τῇ πόλει ταύτῃ δημοσιεύονται ἐν σελ. 170—173 τοῦ πονήματος αὐτοῦ. [3] Πλὴν δὲ τούτων καὶ ἐν τῇ συλλογῇ A. Boeck [4] ὑπάρχει μία κατακεχωρισμένη. Ὅσαι δὲ ὑπὸ Cousinéry [5] ἀντεγράφησαν, αὗται ἀπώλοντο, ὡς αὐτὸς λέγει, ἐν ταῖς ὁδοιπορίαις αὐτοῦ· αἱ δὲ ὑπὸ Leake[6] ἀντιγραφεῖσαι, δημοσιεύονται ἐν τέλει τοῦ III τόμου τοῦ ἔργου αὐτοῦ.[7]

2. *Περὶ Σκύδρας.*

Τέσσαρας περίπου ὥρας πρὸς μεσημβρίαν τῆς πόλεως Βοδενῶν (πάλαι Ἐδέσσης ἢ Αἰγῶν) καὶ δύο ἀπὸ Νεαούστης τίθεται μεταξὺ τῶν νῦν κωμῶν Ἀρσενῆς καὶ Ἐπισκοπῆς ὑπὸ Delacoulonche [8] ἡ ἐκλι-

---

1. XVI, 92.
2. XVI, 92.
3. Mémoire .... sur le berceau de la puissance macédonienne κτλ. Ὁ αὐτὸς ποιεῖται λόγον περὶ τῶν ἀρχαιολογικῶν μνημείων τῆς πόλεως ταύτης ἐν σελ. 14—20.
4. Corpus inscriptionum græcarum Ἀριθ. 1998.
5. Voyage dans la Macédoine I. σ. 80—81.
6. Travels in Nort. Greece, London 1835.
7. Πίν. XXIX. ἀριθ. 138. 139, πίν. XXX. ἀριθ. 140.
8. Mémoire ... sur le berceau de la puissance macédon. κτλ. σ. 27. Πρβλ. σ. 32.

ποῦσα πόλις Σκύδρα, ἣν μνημονεύουσι τῶν ἀρχαίων τινές.[1] Πλὰξ μετ' ἐπιγραφῆς μαρμαρίνη, ἧς τὸ ἐκτύπωμα ἀπεικονίζεται ἐν 26 σελίδι τοῦ πονήματος Delacoulonche, ἀνακαλυφθεῖσα ὑπ' αὐτοῦ ἐν 'Αρσενῇ ὡδήγησεν αὐτὸν εἰς τὸν προσδιορισμὸν τῆς πόλεως Σκύδρας. 'Εκ δὲ τοῦ περιεχομένου τῆς ἐπιγραφῆς ταύτης ἐξάγεται τάδε: α') ὅτι ἡ ἐπιγραφὴ ἀντίγραφόν ἐστιν ὠνικῆς πράξεως, ὡς μαρτυροῦσι τρανῶς αἱ λέξεις ΑΝΤΙΓΡΑΦΟΝ ΩΝΗΣ, ΩΝΗ ΜΑΚΕΔΟΝΙΚΗΣ ΤΙΜΗΣ ΑΡΓΥΡΙΟΥ, ΕΠΡΙΑΤΟ, καὶ β') ὅτι ἡ πρᾶξις αὕτη γίνεται ἐν πόλει, ἧς τὸ ὄνομα ἐπανειλημμένως καὶ ἐνώπιον μαρτύρων ἐκ τῆς αὐτῆς πόλεως καταγομένων ἀναφέρεται, οἷον: ΛΥΚΟΥ ΣΚΥΔΡΑΙΟΥ ἐν τῇ 3ῃ σειρᾷ, ΑΝΔΡΟΣ ΣΚΥΔΡΑΙΟΥ ἐν τῇ 5ῃ σειρᾷ, ΣΚΥΔΡΑΙΟΥ ἐν τῇ 7ῃ σειρᾷ καὶ ΣΚΥΔΡΑΣ ἐν τῇ 18ῃ σειρᾷ, ἐξ ὧν δηλοῦται, ὅτι ἡ περὶ ἧς ὁ λόγος ἐν τῇ ἐπιγραφῇ πόλις ἡ Σκύδρα ἐστίν, ἥτις ἔκειτο τὸ πάλαι οὐ μακρὰν τῆς νῦν κώμης 'Αρσενῆς,[2] ἔνθα διασώζεται πηγὴ ἀφθόνου ὕδατος ἐκ τῶν προπόδων ὑψώματός τινος γῆς ἀναβλύζουσα καὶ καλουμενη τανῦν ὑπὸ τῶν περιοίκων βουλγαρικῷ ὀνόματι Ζλάτα.[3] 'Επὶ τοῦ ὑψώματος τούτου, ἔνθα καὶ νῦν ἔτι ἀνάκειται πλεῖστα λείψανα κεράμων, πλίνθων καὶ συντετριμμένων ἀγγείων

1. Plin. Natur. Hist. IV, 10. « Eordææ, Scydra, Mieza κτλ. » Στέφ. Βυζάντ. ἐν λέξει. — Πτολεμαῖος III, 13, 39. « 'Ημαθίας (πόλεις) Εὔρωπος, Τύρισσα. Σκύδρα, Μί(υ)ζα κτλ.»

2. « A vingt minutes d'Arsené » Delacoulonche: Mémoire κτλ. σ. 27.

3. 'Η πηγὴ αὕτη θεωρεῖται ὑπὸ Delacoulonche : Mémoire κτλ. σ. 27. ὡς ἡ κυριωτέρα κρήνη τῆς ἀρχαίας Σκύδρας. « La source de Slata était jadis la principale fontaine de Scydra»

καὶ ὅπου ἡ παράδοσις ἀποδέχεται τὴν ὕπαρξιν καταστραφέντος τινὸς μοναστηρίου ἀγνώστου ὀνόματος,[1] τίθεται ὑπὸ Delacoulonche[2] ἡ πόλις Σκύδρα, ἣν ἀποδέχεται ἐνταῦθα κειμένην καὶ Kiepert[3] τῇ ὑπὸ τοῦ Γαλάτου τούτου γενομένῃ ἀνακαλύψει ἑπόμενος.

Περὶ λατρείας Ἡρακλέους ἐν Σκύδρᾳ καὶ Ἀρτέμιδος ἐπονομαζομένης Ἀγροτέρας, Γαζωτείρας καὶ Βλουρείτιδος, ὡς ἐξάγεται ἐξ ἐπιγραφῶν ἀνευρεθεισῶν εἰς τὸν αὐτὸν τόπον, ἐν ᾧ καὶ ἡ ἀνωτέρω, διὰ μακρῶν πραγματεύεται ὁ αὐτὸς Delacoulonche ἐν τῷ παρατιθέντι συγγράμματι αὐτοῦ ἐν σελ. 28—32.

3. *Περὶ Κιτίου.*

Τὴν πόλιν Κίτιον ἀναγράφει μὲν ἐκ τῶν ἀρχαίων Λίβιος[4] ἐν Μακεδονίᾳ κειμένην, οὐ ποιεῖται δ' ὅμως μνείαν περὶ τῆς θέσεως ἰδίως, ἐν ῃ αὕτη ἔκειτο.

Τῶν δὲ μεταγενεστέρων, οἱ μὲν[5] ταὐτίζουσιν αὐτὴν τῇ πόλει Κύρρῳ, ὅπερ ἀνακριβές, διότι ἡ Κύρρος

1. Κατὰ τὸν Delacoulonche: Mémoire κτλ. σ.27, δύναταί τις ἀποδεχθῆναι τὸ ὄνομα τῆς προκειμένης πόλεως Ἐπισκοπῆς εἰς τὴν μονὴν ταύτην ἀναγόμενον. Ἐκαλεῖτο δηλ. καὶ ἡ μονὴ αὕτη Ἐπισκοπή.

2. Mémoire.... sur le berceau de la puis. macéd. κτλ. σ. 27.

